# TEZAUR LITURGIC

## 9 NOIEMBRIE

# SLUJBA
# SF.CUVIOŞI
# EFTIMIE
# ŞI
# NEOFIT
# DE LA
# DOCHIARU-ATHOS

ATENA,2020


ΑΠΟϹΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗϹ ЄΚΚΛΗϹΙΑϹ ΤΗϹ ЄΛΛΑΔΟϹ

# 09 ΝΟΕΜΒΡΙΟΣ

# ΜΝΗΜΗ ΤΩΝ ΟΣΙΩΝ ΠΑΤΕΡΩΝ ΗΜΩΝ ΕΥΘΥΜΙΟΥ ΚΑΙ ΝΕΟΦΥΤΟΥ,ΚΤΗΤΟΡΩΝ ΤΗΣ ΙΕΡΑΣ ΜΟΝΗΣ ΤΟΥ ΔΟΧΕΙΑΡΙΟΥ ΚΑΙ ΜΕΘΕΟΡΤΑ ΤΗΣ ΣΥΝΑΞΕΩΣ ΤΩΝ ΑΡΧΑΓΓΕΛΩΝ

## ΑΚΟΛΟΥΘΙΑ

### ΕΣΠΕΡΙΝΟΣ

Μετά τον Προοιμιακόν, στιχολογούμεν την α’ Στάσιν του · Μακάριος ανήρ. Εις δε το· Κύριε εκέκραξα, ιστώμεν Στίχους στ’ , και ψάλλομεν Στιχηρά Προσόμοια των

Αρχαγγέλων γ’ . Ήχος δ’ . Ως γενναίον εν Μάρτυσιν.

Μιχαήλ τον Αρχάγγελον, Ασωμάτων το ήδυσμα, και ανθρώπων πάντων το αγαλλίαμα, χρεωστικώς ευφημήσωμν, θεοκρότοις άσμασι, και εν ύμνοις ιεροίς, προς αυτόν ανακράζοντες, μετά πίστεως· από πάσης κακώσεως και βλάβης, αισθητής και νοουμένης, την σην Μονήν διαφύλαττε.

Γαβριήλ αστραπόμορφε, νέας χάριτος Άγγελε, συνελθόντες σήμερον ευφημούμέν σε, μεθεορτίοις εν άσμασι, και πόθω βοώμέν σοι· από πάσης συνοχής, και κινδύνων και θλίψεων, ελευθέρωσον, την σην ποίμνην και ταύτην

ανωτέραν, των βελών του πολεμίου, θερμή πρεσβεία σου φύλαττε.

Κοσμοσώστραι Αρχάγγελοι, θείων Νόων πρωτεύοντες, ουρανόθεν πάριτε μέσον σήμερον, Μονής υμών και λυτρώσασθε, ημάς ους συνήξατε, εν αυτή παντός κακού, πρέσβυν άπαυστον έχοντες, ικετεύοντα, υπέρ πάντων δομήτορα τον ταύτης, τον Νεόφυτον τον θείον, ου μνήμην άγομεν σήμερον.

Και των Οσίων. Όμοια

Φιλεόρτων συστήματα, πανταχόθεν συνδράμετε, και λαμπράν πανήγυριν συγκροτήσατε, ιδού γαρ πάντας εκάλεσαν, ημάς εις εστίασιν, και χαράν πνευματικήν, οι ενταύθα ασκήσαντες, δύο Όσιοι, τας αυτών αριστείας παραθέντες, και τους άθλους και αγώνας, ους υπέρ φύσιν διήνυσαν.

Ουρανός χαίρει σήμερον, γη χορεύει τιμώσά σου, την αγίαν κοίμησιν ω Ευθύμιε, και μοναζόντων κατάλογος, υμνεί τον δοξάσαντα, την φαιδράν σου και σεπτήν, εορτήν και κραυγάζει σοι· Πάτερ τίμιε, μοναζόντων η δόξα διατήρει, την Μονήν Δοχειαρίου, την σην τιμώσαν πανήγυριν.

Μοναζόντων ο σύλλογος, και μιγάδων συστήματα, δεύτε ευφημήσωμεν τον δομήτορα, τον θεοφόρον Νεόφυτον, το άνθος της φύσεως, των πιστών την καλλονήν, και τον στύλον της πίστεως, τον ακράδαντον, τον φυλάττοντα ποίμνην την ιδίαν, εκ παντοίων και ποικίλων, πειρατηρίων και θλίψεων.

Δόξα. Ήχος πλ. β' .

Ασκητικήν οδεύσαντες οδόν, παθών ορμάς ενεκρώσατε, Πατέρες τρισόλβιοι, Ευθύμιε και Νεόφυτε. Εν γαρ δυσβάτοις όρεσι διαιτώμενοι, τη δυνάμει του Σταυρού, τον αόρατον εχθρόν ετροπώσασθε, και το κατ' εικόνα Θεού αλώβητον ετηρήσατε. Εν τω αλσώδει δε τόπω τούτω, Μονήν περικαλλή ανωκοδομήσατε. Ην ασινή εις τους αιώνας φυλάξατε, πρεσβείαις της μόνης Θεοτόκου, και των θείων Αρχιστρατήγων, αποσοβούντες τα θράση των βαρβάρων, και των εναντίων εχθρών, και ημίν αιτήσασθε δοθήναι το μέγα έλεος.

Και νυν. Θεοτοκίον

Τις μη μακαρίσει σε, Παναγία Παρθένε; τις μη ανυμνήσει σου τον αλόχευτον τόκον; ο γαρ αχρόνως εκ Πατρός εκλάμψας Υιός μονογενής, ο αυτός εκ σου της Αγνής

προήλθεν, αφράστως σαρκωθείς, φύσει Θεός υπάρχων, και φύσει γενόμενος άνθρωπος δι' ημάς, ουκ εις δυάδα προσώπων τεμνόμενος, αλλ' εν δυάδι φύσεων, ασυγχύτως γνωριζόμενος. Αυτόν ικέτευε, σεμνή Παμμακάριστε, ελεηθήναι τας ψυχάς ημών.

Είσοδος. Φως ιλαρόν. Προκείμενον της ημέρας. Αναγνώσματα

Σοφίας Σολομώντος το Ανάγνωσμα. (Κεφ. γ' 1)

Δικαίων ψυχαί εν χειρί Θεού, και ου μη άψηται αυτών βάσανος. Έδοξαν εν οφθαλμοίς αφρόνων τεθνάναι, και ελογίσθη κάκωσις η έξοδος αυτών, και η αφ’ ημών πορεία σύντριμμα· οι δε εισιν εν ειρήνη. Και γαρ εν όψει ανθρώπων εάν κολασθώσιν, η ελπίς αυτών αθανασίας πλήρης. Και ολίγα παιδευθέντες, μεγάλα ευεργετηθήσονται· ότι ο Θεός επείρασεν αυτούς, και εύρεν αυτούς αξίους εαυτού. Ως χρυσόν εν χωνευτηρίω εδοκίμασεν αυτούς, και ως ολοκάρπωμα θυσίας προσεδέξατο αυτούς. Και εν καιρώ επισκοπής αυτών αναλάμψουσι, και ως σπινθήρες εν καλάμη διαδραμούνται. Κρινούσιν έθνη, και κρατήσουσι λαών, και βασιλεύσει αυτών Κύριος εις τους αιώνας. Οι πεποιθότες

επ’ αυτόν, συνήσουσιν αλήθειαν, και οι πιστοί εν αγάπη προσμενούσιν αυτώ· ότι χάρις και έλεος εν τοις οσίοις αυτού και επισκοπή εν τοις εκλεκτοίς αυτού.

Σοφίας Σολομώντος το ανάγνωσμα. (Κεφ. ζ'.7)

Δίκαιος, εάν φθάση τελευτήσαι, εν αναπαύσει έσται. Γήρας γαρ τίμιον ου το πολυχρόνιον, ουδέ αριθμώ ετών μεμέτρηται. Πολιά δε εστι φρόνησις ανθρώποις, και ηλικία γήρως βίος ακηλίδωτος. Ευάρεστος Θεώ γενόμενος, ηγαπήθη· και ζων μεταξύ αμαρτωλών, μετετέθη. Ηρπάγη, μη κακία αλλάξη σύνεσιν αυτού, η δόλος απατήση ψυχήν αυτού· βασκανία γαρ φαυλότητος αμαυροί τα καλά, και ρεμβασμός επιθυμίας μεταλλεύει νουν άκακον. Τελειωθείς εν ολίγω, επλήρωσε χρόνους μακρούς· αρεστή γαρ ην Κυρίω η ψυχή αυτού· δια τούτο έσπευσεν εκ μέσου πονηρίας. Οι δε λαοί ιδόντες και μη νοήσαντες, μηδέ θέντες επί διανοία το τοιούτον, ότι χάρις και έλεος εν τοις οσίοις αυτού, και επισκοπή εν τοις εκλεκτοίς αυτού.

Σοφίας Σολομώντος το Ανάγνωσμα. (Κεφ. ε' 15)

Δίκαιοι εις τον αιώνα ζώσι, και εν Κυρίω ο μισθός αυτών, και η φροντίς αυτών παρά Υψίστω. Δια τούτο λήψονται το βασίλειον της ευπρεπείας, και το διάδημα του κάλλους εκ

χειρός Κυρίου· ότι τη δεξιά αυτού σκεπάσει αυτούς, και τω βραχίονι υπερασπιεί αυτών. Λήψεται πανοπλίαν τον ζήλον αυτού, και οπλοποιήσει την κτίσιν εις άμυναν εχθρών. Ενδύσεται θώρακα, δικαιοσύνην· και περιθήσεται κόρυθα, κρίσιν ανυπόκριτον. Λήψεται ασπίδα ακαταμάχητον οσιότητα· οξυνεί δε απότομον οργήν εις ρομφαίαν. Συνεκπολεμήσει αυτώ ο κόσμος επί τους παράφρονας· πορεύσονται εύστοχοι βολίδες αστραπών, και ως από ευκύκλου τόξου, των νεφών, επί σκοπόν αλούνται· και εκ πετροβόλου θυμού πλήρεις ριφήσονται χάλαζαι. Αγανακτήσει κατ' αυτών ύδωρ θαλάσσης· ποταμοί δε συγκλύσουσιν αποτόμως. Αντιστήσεται αυτοίς πνεύμα δυνάμεως, και ως λαίλαψ εκλικμήσει αυτούς, και ερημώσει πάσαν την γην ανομία, και η κακοπραγία περιτρέψει θρόνους δυναστών. Ακούσατε ουν βασιλείς, και σύνετε· μάθετε δικασταί περάτων γης. Ενωτίσασθε οι κρατούντες πλήθους, και γεγαυρωμένοι επί όχλοις εθνών· ότι εδόθη παρά Κυρίου η κράτησις υμίν, και η δυναστεία παρά Υψίστου.

Εις την Λιτήν. Ήχος α’ Κυπριανού

Των νοερών Δυνάμεων Αρχιστράτηγοι, οι παρεστώτες απαύστως, τω δεσποτικώ θρόνω, πρεσβεύσατε προς Κυριον, ειρήνην τω κόσμω δωρήσασθαι, και ταις ψυχαίς ημών το μέγα έλεος.

Ο αυτός.

Τα περικαλλή αναθήματα, της Μονής του Δοχειαρίου, σήμερον πιστοί αξίως υμνήσωμεν, Ευθύμιον τον θεοφόρον, συν Νεοφύτω τω τρισολβίω. Ούτοι γαρ οι καρτερόψυχοι, τας φάλαγγας των δαιμόνων τροπώσαντες εν γη, εις ουρανούς επαξίως αγάλλονται, και τη Τριάδι παριστάμενοι, πρεσβεύουσι σωθήναι τας ψυχάς ημών.

Ο αυτός.

Την ποίμνην υμών ταύτην, ην πολλοίς πόνοις εκ βάθρων ηγείρατε, Πατέρες τρισόλβιοι Ευθύμιε και Νεόφυτε, φυλάττετε ταις υμών πρεσβείαις, εξ εχθρών ορατών και μη ορωμένων, λυτρούμενοι αυτήν ποικίλων νοσημάτων, και των κρυπτών παγίδων του παμπονήρου δαίμονος, ως παρρησίαν έχοντες προς Κύριον.

Ήχος δ’ .

Πάτερ Ευθύμιε, συ και μετά θάνατον ζης εν ουρανοίς, εν Χριστώ τω Θεώ, δι’ ου τω κόσμω σεαυτόν εσταύρωσας. Έξω γαρ σακρός και κόσμου γενόμενος, ουκ έχης σεαυτώ, έζη δε μάλλον εν σοι Χριστός ο Θεός ημών· Αυτόν ικέτευε σωθήναι τας ψυχάς ημών.

Ο αυτός.

Επόθησας θεοφόρε Πατήρ ημών Νεόφυτε, την άνω μακαριότητα, και τα του κόσμου τερπνά παρ’ ουδέν ηγήσω, ίνα τον μόνον εράσμιον Χριστόν κερδήσης· διο ως άσαρκος εν γη πεπολίτευσαι, ως εν αλλοτρίω σώματι αγωνιζόμενος, νεκρώσας τας της σαρκός ορέξεις, και των παθών τας τρικυμίας· τοις πόνοις τοις μόχθοις τη της σαρκός εγκρατεία, θείον καταγώγιον γέγονας του Αγίου Πνεύματος. Όθεν ως παρρησίαν έχων προς Αυτόν, πρέσβευε φωτισθήναι και ημών, τας ψυχάς των ευφημούντων σε.

Δόξα. Ήχος πλ. α’ .

Όσιοι Πατέρες, της φωνής του Ευαγγελίου του Κυρίου ακούσαντες, τον κόσμον κατελίπετε, τον πλούτον και την δόξαν εις ουδέν λογισάμενοι. Όθεν πάσιν εκράζετε·

αγαπήσατε τον Θεόν και ευρήσετε χάριν αιώνιον· μηδέν προτιμήσητε της αγάπης Αυτού· ίνα όταν έλθη εν τη δόξη Αυτού, ευρήσητε ανάπαυσιν μετά πάντων των Αγίων· ων ταις ικεσίαις Χριστέ, φύλαξον και σώσον τας ψυχάς ημών.

Και νυν... Θεοτοκίον

Μακαρίζομέν σε Θεοτόκε Παρθένε, και δοξάζομέν σε οι πιστοί κατά χρέος, την πόλιν την άσειστον, το τείχος, το άρρηκτον, την αρραγή προστασίαν, και καταφυγήν των ψυχών ημών.

Εις τον Στίχον. Ήχος πλ. α' . Χαίροις ασκητικών.

Χαίρετε Παρακλήτου Μοναί, της ησυχίας τα σειρήνια θέλγητρα, οι κύκλοι πασών χαρίτων περιοχαί θαυμασταί, δωρεών παντοίων των του Πνεύματος, ημών τα προπύργια, και η δόξα η άρρητος, οι του Σωτήρος μιμηταί αξιάγαστοι, και Αγγέλων τε συμπολίται και σύμμορφοι, πάριτε τοίνυν άγιοι συν θείοις στρατεύμασι, μέσον ημών των υμνούντων, τας ευφημίας δεξόμενοι, Χριστόν δυσωπούντες, ταις ψυχαίς ημών πεμφθήναι το μέγα έλεος.

Στ.: Τίμιος εναντίον Κυρίου, ο θάνατος του Οσίου Αυτού.

Τάξεσι ουρανίαις συνών, εν ευθυμία ω παμμάκαρ Ευθύμιε, και βλέπων Χριστού το κάλλος το ωραιότατον

νυν, υπέρ των υμνούντων σε προσάγαγε, ικέσιον έντευξιν, όπως εύρωμεν άφεσιν, των επταισμένων και δεινών απολύτρωσιν, και ανώτεροι των παθών τε γενώμεθα, οίδας γαρ την επίτασιν διο και δεδοίκαμεν, το τελευταίον και ξένον, και φοβερόν λογοθέσιον, εν ω σαις πρεσβείαις, κατακρίσεως και φόβου ημάς εκλύτρωσαι.

Στ.: Μακάριος ανήρ ο φοβούμενος τον Κύριον.

Νάμα της ακηράτου τρυφής, και ζωής άρτος πανδαισία εξαίρετος, προτίθεται νυν τοις πάσι εν τη φαιδρά εορτή, Νεοφύτου δεύτε και τρυφήσωμεν, επείνασε γαρ αυτός, τα Χριστού δικαιώματα, και εδίψησεν την χαράν εν τοις δάκρυσιν, αγαλλόμενος εν τω σπείρειν ως γέγραπται, δευτε ουν και προσπέσωμεν αυτώ και βοήσωμεν, άρόν σου Πάτερ τας χείρας, και τον Σωτήρα ικέτευσον, ημίν καταπέμψαι, τοις σοις τέκνοις σε τιμώσι το μέγαν έλεος.

Δόξα. Ήχος πλ. δ’ .

Των μοναστών τα πλήθη, τους καθηγητάς και αρχηγούς ημών Πατέρας, Ευθύμιον και Νεόφυτον αξίως τιμήσωμεν· ούτοι γαρ οι αξιΰμνητοι, την όντως ευθείαν οδόν του Κυρίου, ανδρείως ώδευσαν εν τη Μονή τη θεία ταύτη, και παρ’ Αυτού την μακαρίαν εκείνην φωνήν του Σωτήρος

ήκουσαν· ευ δούλοι αγαθοί και πιστοί, οι της ημέρας το βάρος βαστάσαντες· εισέλθετε τοίνυν εις την χαράν του Κυρίου υμών, και πρεσβεύσατε υπέρ ημών, Πατέρες τρισόλβιοι.

Και νυν. Θεοτοκίον.

Δέσποινα πρόσδεξαι τας δεήσεις των δούλων Σου, και λύτρωσαι ημάς από πάσης ανάγκης και θλίψεως.

Νυν απολύεις. Τρισάγιον.

Απολυτίκιον. Των Αρχαγγέλων. Ήχος δ’ . Ο υψωθείς.

Των ουρανίων στρατιών οι Ταξίαρχοι, ο Μιχαήλ και Γαβριήλ οι Αρχάγγελοι, οι τω αστέκτω θρόνω παριστάμενοι, μέσον ημών πάριτε, παρεμβάλλοντες κύκλω, σκέποντες ταις πτέρυξι, της αΰλου υμών δόξης, και των δεινών λυτρούμενοι ημάς, οι εν κινδύνοις προστάται θερμότατοι.

Δόξα. Των Οσίων. Ήχος α’ . Του λίθου σφραγισθέντος.

Μισήσαντες του κόσμου την ευπάθειαν Όσιοι, τον πλούτον και την δόξαν ηδονάς τε του σώματος, προθύμως ηγαπήσατε Χριστόν, αράμενοι τον τίμιον Σταυρόν, και δομήτορες της θείας ταύτης Μονής, εδείχθητε μακάριοι. Δόξα τω στεφανώσαντι υμάς, δόξα τω ενισχύσαντι, δόξα τω των Αγίων τοις χοροί συναριθμήσαντι.

Και νυν. Θεοτοκίον.

Του Γαβριήλ φθεγξαμένου σοι Παρθένε το Χαίρε, συν τη φωνή εσαρκούτο ο των όλων Δεσπότης, εν σοι τη αγία κιβωτώ, ως έφη ο δίκαιος Δαυΐδ. Εδείχθης πλατυτέρα των ουρανών, βαστάσασα τον Κτίστην σου. Δόξα τω ενοικήσαντι εν σοι· δόξα τω προελθόντι εκ σου· δόξα τω ελευθερώσαντι ημάς, δια του τόκου σου.

Απόλυσις.

## ΟΡΘΡΟΣ

Μετά την α᾽ στιχολογίαν, Κάθισμα.Ήχος γ᾽.Την ωραιότητα.

Δυάς η άϋλος, η ταις ελλάμψεσι, ταις υπέρ έννοιαν, αεί αστράπτουσα, μοναδικής τριαδικής Θεότητος Αρχάγγελοι, ταις τέσσαρσι πτέρυξιν υμών πάντας σκεπάσατε, και φωτί λαμπρύνατε αρετής και της γνώσεως, τους πόθω ευφημούντας την θείαν, υμών πανήγυριν εν ύμνοις.

Δόξα. Και νυν. Θεοτοκίον.

Κατατιτρώσκει με, βέλος γλυκύτατον, της αγαπήσεως, της Σης πανύμνητε, και αναγκάζει με βοάν σοι ευλογημένη, χαίροις ηλιόμορφε, βασιλέως παλάτιον, χαίρε στύλε πύρινε

και νεφέλη ολόφωτε, χαίρε του ουρανού και γης θαύμα, χαίρε απάντων υπερτέρα.

Μετά την β’ στιχολογίαν, κάθισμα. Ήχος γ’.Την ωραιότητα.

Τον ωραιότατον, Χριστόν επόθησας, και τα του σώματος, πάθη εμείωσας, αγγελικώς επί της γης Ευθύμιε βιοτεύσας, όθεν την αγίαν σου εκτελούμεν πανήγυριν, και περιπτυσσόμεθα την αγίαν εικόνα Σου, εξ ης ημίν πηγάζεις ιάματα, Πάτερ τοις πόθω σε τιμώσι.

Δόξα. Και νυν. Θεοτοκίον.

Την ωραιότητα, της παρθενίας σου, και το υπέρλαμπρον, το της αγνείας σου, ο Γαβριήλ καταπλαγείς εβόα σοι Θεοτόκε· Ποίόν σοι εγκώμιον, προσαγάγω επάξιον, τι δε ονομάσω σε; απορώ και εξίσταμαι· διο ως προσετάγην βοώ σοι· Χαίρε η Κεχαριτωμένη.

Μετά τον Πολυέλεον, κάθισμα.Ήχος δ’.Επεφάνης σήμερον.

Τα φρικτά σου σκάμματα, Πάτερ θεόφρον, εξειπείν ου δύναται, φύσις βροτεία πρεπωδώς, πως ουν ημείς ευπορήσωμεν, ύμνους πρεπώδεις ως πρέπει αφοσιώσασθαι;

Δόξα. Και νυν. Θεοτοκίον.

Χρυσωθείσα Πνεύματι, κιβωτός ώφθης, η τον κόσμον σώζουσα, της καταιγίδος της πικράς, και εις λιμένα απάγουσα, της σωτηρίας τους θέλοντας σώζεσθαι.

Οι Αναβαθμοί· το α’ ἀντίφωνον του δ’ ἤχου.

Προκείμενον: Τίμιος εναντίον Κυρίου, ο θάνατος του Οσίου Αυτού.

Στ.: Μακάριος ανήρ ο φοβούμενος τον Κύριον.

Ευαγγέλιον Οσιακόν.

Ο Ν ψαλμός.

Δόξα: Ταις των Σων Οσίων...

Και νυν: Ταις της Θεοτόκου...

Ιδιόμελον. Ήχος πλ. β . Στ.: Ελέησόν με ο Θεός...

Όσιοι Πατέρες, μελετήσαντες ημέρας και νυκτός, εν νόμω Κυρίου, ηξιώθητε, του ξύλου της ζωής σύμφυτοι γενέσθαι, και ο καρπός υμών στεφάνους εξήνθησε, παρρησίαν ουν έχοντες, προς τον αγωνοθέτην Θεόν, και ημίν αιτήσασθε ιλασμόν και το μέγα έλεος.

Είτα οι Κανόνες· της Γοργοϋπηκόου μετά των Ειρμών εις στ’ , των Αρχαγγέλων εις δ’ και των Οσίων εις δ’ .

Ο Κανών της Γοργοϋπηκόου, ποίημα Νικοδήμου Αγιορείτου.

## Ωδή α’ . Ήχος πλ. δ’ . Ο Ειρμός.

Αρματηλάτην Φαραώ εβύθισε, τερατουργούσά ποτε, Μωσαϊκή ράβδος, σταυροτύπως πλήξασα, και διελούσα θάλασσαν, Ισραήλ δε φυγάδα, πεζόν οδίτην διέσωσεν, άσμα τω Θεώ αναμέλποντα. (Δις)

Σου την λαμπράν και θαυμαστήν και πάντιμον, Γοργοϋπήκοε, μορφήν ανυμνούντι, χάριν λόγου δίδου μοι, και λόγον εν χάριτι, ίνα δω και τοις άλλοις, χάριν πλουσίαν πανύμνητε, τοις ακροωμένοις και ψάλλουσιν.

Άλλη στοά του Σολομώντος πέφηνεν, η ιερά σου Εικών, εν η πλήθυ Κόρη, ασθενών συνάγονται, μετά θερμής της πίστεως, και λαμβάνουσι νόσων, την θεραπείαν και ίασιν, της ψυχής ομού και του σώματος.

Οι ποταμοί των ιαμάτων βλύζουσιν, ως εξ Εδέμ νοητής, της λαμπράς εικόνος, σου Γοργοϋπήκοε, ποτίζοντες ευφραίνοντες, την Χριστού Εκκλησίαν, δεύτε αρύσασθε άνθρωποι, ταύτης τα νεκρέγερτα νάματα.

Ουδείς προσήλθε τη σεπτή εικόνι σου, Γοργοϋπήκοε, και κατησχυμένος, απεστράφη πώποτε, συ γαρ υπάρχεις εύσπλαγχνος, και φιλάνθρωπος φύσει, όθεν πληροίς τα αιτήματα, των προσκαλουμένων σε πάντοτε.

Ο Κανών των Αρχαγγέλων, ποίημα του αυτού.

Ήχος και Ειρμός ο αυτός.

Ως επωνύμω της Θεού δυνάμεως, Μιχαήλ μέγιστε, πόθω σοι βοώμεν, βιουν ενδυνάμωσον, αγγελικώς τους δούλους σου, ους ενταύθα συνήξας, ημάς φορούντας εν χάριτι, Αγγέλων το σχήμα πανάριστε.

Κλήσιν ανθρώπου και Θεού πεπλούτηκας, Γαβριήλ ένδοξε, όθεν δυσωπούμεν, ημάς καταξίωσον, ενώπιον ανθρώπων τε, και Θεού προνοείσθαι, καλά ους ώδε συνήγαγες, όπως σε απαύστως γεραίρωμεν.

Των Αρχαγγέλων ξυνωρίς αθάνατε, και δομητόρων σεπτών, Μονής ημών ταύτης, ξυνωρίδα ένθεον, παραλαβούσα ποίησον, θερμοτάτην πρεσβείαν, υπέρ αυτής προς τον Κύριον, του ρυσθήναι πάσης κακώσεως.

Θεοτοκίον.

Πάντων Αγγέλων βασιλίς γεγένησαι, τον βασιλέα Χριστόν, Ου η βασιλεία, βασιλεία πέφυκε, πάντων αιώνων Δέσποινα, εν γαστρί συλλαβούσα, Ον βασιλεύειν ικέτευε, εν ημίν τοις δούλοις σου άχραντε.

Ο Κανών των Οσίων. Ήχος δ’ . Ανοίξω το στόμα μου.

Νοός μου την ζόφωσιν, φώτισον θείαις πρεσβείαις σου, και λόγον μοι δώρησαι, μάκαρ Ευθύμιε, όπως μέλψω σου, αγώνας τους γενναίους, και τα της ασκήσεως ανδραγαθήματα.

Το στόμα μου άνοιξον, το κεκλεισμένον τοις πταίσμασι, λιταίς σου Νεόφυτε, και Πνεύμα Άγιον, νυν κατάπεμψον, εκ του Πατρός των φώτων, την σην όπως άσμασιν υμνήσω κοίμησιν.

Ζωής εφιέμενοι, της αϊδίου και κρείττονος, πάσης ηλογήσατε, της επικήρου ζωής, μακρυνόμενοι, σαρκίνης συγγενείας, Χριστώ συννεκρούμενοι και συζωούμενοι.

Θεοτοκίον.

Νοείν ου δεδύνηται, βρότειος νους παναμώμητε, το μέγα μυστήριον, του θείου τόκου σου, τον γαρ άπασαν, βαστάζοντα την κτίσιν, αγκάλαις εβάστασας, ω ξένον άκουσμα!

Καταβασία

Ανοίξω το στόμα μου, και πληρωθήσεται Πνεύματος, και λόγον ερεύξομαι, τη βασιλίδι Μητρί, και οφθήσομαι,

φαιδρώς πανηγυρίζων, και άσω γηθόμενος, ταύτης τα θαύματα.

Ωδή γ' . Της Θεοτόκου. Ο Ειρμός.

Ουρανίας αψίδος, οροφουργέ Κύριε, και της Εκκλησίας δομήτορ, συ με στερέωσον, εν τη αγάπη τη ση, των εφετών η ακρότης, των πιστών το στήριγμα, μόνε φιλάνθρωπε. (Δις)

Άλλη πλήρης σελήνη, σου η εικών δείκνυται, αργυρειδής εκλεκτή τε και πανευφρόσυνος, καταλαμπρύνουσα, τους εν νυκτί καθημένους, παθημάτων πάναγνε και παραπτώσεων.

Πηγή άλλη εδείχθης, η εκ της γης βλύζουσα, και της γης το πρόσωπον άπαν Κόρη ποτίζουσα, Γοργοϋπήκοε, καθάπερ γέγραπται όθεν, πότισόν με χάριτος δίψη φλεγόμενον.

Ως πολύαστρος σφαίρα, σου η εικών πέφηνε, θαύματα ποικίλα ως άστρα Κόρη πολύφωτα, τω κόσμω λάμπουσα, δι' ων παντοίων κινδύνων, εκλυτρούνται Δέσποινα πάντες ορθόδοξοι.

Ατμοσφαίρα υπάρχεις, του ουρανού Δέσποινα, όμβροις των χαρίτων σου πάντας αγνή δροσίζουσα, λιποψυχήσαντας,

κακοπαθείαις του βίου, και τακέντας καύσωνι των παραπτώσεων.

Των Αρχαγγέλων. Συ ει το στερέωμα.

Ειρηναίαν αίτησαι, ημίν ζωήν τοις οικέταις σου, εν ουρανοίς ήτις βασιλεύει, Μιχαήλ αρχιστράτηγε.

Κυρίου το θέλημα, εν τη Μονή σου ικέτευε, ω Γαβριήλ ως και εν τω πόλω, εκτελείσθαι αείποτε.

Άϋλοι Αρχάγγελοι, συν τοις ενύλοις δομήτορσι, Μονής υμών Θεόν ιλεούσθε, υπέρ ταύτης εκάστοτε.

Θεοτοκίον.

Τάξεις λειτουργούσί σοι, αι των Αγγέλων Θεόνυμφε, συ γαρ Θεόν τον ποιητήν τούτων, απειράνδρως γεγέννηκας.

Των Οσίων. Τους Σους υμνολόγους.

Ηλλάξω τα μένοντα ρεόντων, εμφρόνως τον σον αναλαβών, στυαρόν θείε Ευθύμιε, και όρει τω του Άθωνος, ως Ηλιού ο μέγιστος, υποχωρών διετέλεσας.

Όλος εν γραφή τη θεοπνεύστω, εισδύσας Νεόφυτε σοφέ, εντεύθεν τον πολύτιμον, μαργαρίτην ανείλκυσας, ον μεταδούς τη ποίμνη σου, ταύτην ενθέως κατεπλούτισας.

Ψυχής θερμοτάτη κατανύξει, εικόνι προσέλθωμεν πιστοί, των δομητόρων σήμερον, και ταύτην ασπασώμεθα, εν αρρυπώτοις χείλεσιν, δόξαν Θεώ αναπέμποντες.

Θεοτοκίον.

Ασπόρως συνέλαβες Παρθένε, ακόπως εβάστασας αγνή, αφθόρως δε εγέννησας, Θεόν τον υπερούσιον, ω τέρατα παράδοξα! Τις νους βροτών ουκ εξίσταται;

Καταβασία.

Τους σους υμνολόγους Θεοτόκε, ως ζώσα και άφθονος πηγή, θίασον συγκροτήσαντας, πνευματικόν στερέωσον, και εν τη θεία δόξη σου, στεφάνων δόξης αξίωσον.

Κοντάκιον των Αρχαγγέλων. Ήχος πλ. δ' . Τη Υπερμάχω.

Τους Αρχαγγέλους της Τριάδος ευφημήσωμεν, τον Μιχαήλ και Γαβριήλ πάντες φιλέορτοι, οι σκεπόμενοι ταις πτέρυξιν αμφοτέρων, και δεινών παντοδαπών εκλυτρούμενοι, τω μεν κράζοντες · χαίρε νόμου διάκονε, τω δε λέγοντες· χαίρε χάριτος Άγγελε.

Κάθισμα. Ήχος δ' . Ο υψωθείς.

Τα Σεραφίμ και Χερουβίμ πολυόμματα, των Αρχαγγέλων λειτουργών τα στρατεύματα, συν Εξουσίαις Θρόνοι Κυριότητες, Άγγελοι Δυνάμεις τε, και Αρχαί δυσωπούσι, σε

τον ποιητήν ημών, και Θεόν και Δεσπότην, μη υπερίδης δέησιν λαού, ημαρτηκότος Χριστέ πολυέλεε.

Δόξα. Ήχος α’ . Τον τάφον Σου Σωτήρ.

Ως ήλιος λαμπρός, ως φαιδρός εωσφόρος, η μνήμη η σεπτή, των ημών δομητόρων, ανέτειλεν αυγάζουσα, τους του Όρους οικήτορας, και θερμαίνουσα, των μοναστών τας καρδίας, προς την μίμησιν, βίου αυτών του ενθέου, και ζήλον της πίστεως.

Και νυν. Θεοτοκίον.

Ως όρνις εαυτής, τα νοσσία συνάγει, και σκέπει μητρικώς, ούτω σκέπασον πάντας, ημάς τους το Όρος σου, κατοικούντας πανύμνητε, ταις σαις πτέρυξιν, από παντοίων κινδύνων, και συνάγαγε, εις την ουράνιον πόλιν, ταις θείαις πρεσβείαις σου.

Ωδή δ’ . Της Θεοτόκου. Ο Ειρμός.

Συ μου ισχύς Κύριε, συ μου και δύναμις, συ Θεός μου, συ μου αγαλλίαμα, ο Πατρικούς κόλπους μη λιπών, και την ημετέραν, πτωχείαν επισκεψάμενος· διο συν τω Προφήτη, Αββακούμ σοι κραυγάζω, τη δυνάμει σου δόξα Φιλάνθρωπε. (Δις)

Άλλη πλειας, φαιδρά λαμπρά και πολύαστρος, η εικών σου, ανεδείχθη Δέσποινα, τους εν νυκτί όντας λυπηρών, λάμπουσα χαρίτων ταις θαυμασταίς αγλαΐαις σου, και τούτοις γενομένη, παραμύθιον μέγα, και γοργόν και γλυκύ παρηγόρημα.

Άρκτος φαιδρά, περιφανής και επτάστερος, κόσμω ώφθης, συ Γοργοϋπήκοε, τους εν θαλάσση τη κοσμική, πλέοντας του βίου και τρικυμίαις παλαίοντας, προς όρμους σωτηρίας, γαληνούς και ευδίους, ταις πρεσβείαις σου Κόρη ιθύνουσα.

Ίρις τερπνή, κυκλοειδής και χαρίεσσα, ανεφάνης, ω Γοργοϋπήκοε, συ γαρ εγένου τόξον λαμπρόν, και σημείον μέγα καταλλαγής Θεού πάναγνε, διο ταις σαις πρεσβείαις, την οργήν καταπαύεις, καθ’ ημών φερομένην του κτίσαντος.

Μετά Θεόν, σε προστασίαν κεκτήμεθα, μόνην σκέπην, μόνην παραμυθίον, μόνην ψυχήν και μόνην πνοήν, μόνην προστασίαν Γοργοϋπήκοε πάναγνε, συ γαρ μεμονωμένοις, ημίν έμεινας μόνη, και χαρά και ζωή και αντίληψις.

Των Αρχαγγέλων. Ο αυτός.

Πόρρω της σης, Μονής τα σκάνδαλα δίωξον, και ενέδρας, του δολίου δράκοντος, ώσπερ το πριν εκ του ουρανού, εδίωξας τούτον ω Μιχαήλ αρχιστράτηγε, ίνα σε κατά χρέος, εν ωδαίς ετησίοις, οι σοι δούλοι τιμώμεν Αρχάγγελε.

Χαράς ημάς, πνευματικής τους οικέτας σου, δείξον πλήρεις, Γαβριήλ παμμέγιστε, ως της χαράς λειτουργός οφθείς, της αδιαδόχου και παγκοσμίου Αρχάγγελε, λύπης διαφυλάττων, κοσμικής ανωτέρους, ίνα πίστει και πόθω τιμώμέν σε.

Τετράς σεπτή, υπέρ ημών ικετεύσατε, την Τριάδα, οι δύο Αρχάγγελοι, και οι κλεινοί κτήτορες σεπτής, Μονής ημών ταύτης όπως ρυσθώμεν κολάσεως, και λάβωμεν προ τέλους, οφλημάτων την λύσιν, ους ενταύθα καλώς συνηθροίσατε.

Θεοτοκίον.

Υπερφυώς, τον ποιητήν η γεννήσασα, των Αγγέλων, Κόρη θεονύμφευτε, ημάς πολλαίς πράξεσιν αισχραίς, και ταις παρά φύσιν βεβηλωθέντας κινήσεσιν, ενίσχυσον παρθένε, κατά φύσιν κινείσθαι, και φυλάττειν Θεού τα προστάγματα.

Των Οσίων. Ο καθήμενος εν δόξη.

Οι μαζοί της Μονής ταύτης, οι το γάλα προχέοντες, τοις ενασκουμένοις, οι πεφωτισμένοι δομήτορες, οι διαστρέφοντες πάντας θείοις βρώμασιν, ευφημείσθωσαν χαρμονικοίς μελωδήμασι.

Ιατρείον ανεδείχθη, η Μονή υμών Όσιοι, των χειμαζομένων, άκλυστος λιμήν και σωτήριος, εν ω προστρέχοντες πάντες κομιζόμεθα, την γαλήνην και την των δεινών απολύτρωσιν.

Χαλινά του θείου νόμου, πάντα ρήξας ο δείλαιος, ακρατώς ελαύνω, προς κακίας οίμοι τα βαράθρα, οία δυσήνιος ίππος αλλά συ ω δυάς, τω ζυγώ του Χριστού με υπόταξον.

Θεοτοκίον.

Ρυομένη σου την ποίμνην, Θεοτόκε επίφανον, καταδυναστείας, πάσης και δεινής επιθέσεως, των μηδαμώς κηρυττόντων την αλήθειαν, και τον κλήρόν σου δίδου νικάν τον ορθόδοξον.

Καταβασία.

Την ανεξιχνίαστον θείαν βουλήν, της εκ της Παρθένου σαρκώσεως, σου του Υψίστου, ο Προφήτης, Αββακούμ, κατανοών εκραύγαζε· Δόξα τη δυνάμει σου Κύριε.

## Ωδή ε' . Της Θεοτόκου. Ο Ειρμός.

Ίνα τι με απώσω, από του προσώπου σου, το φως το άδυτον, και εκάλυψέ με, το αλλότριον σκότος τον δείλαιον, αλλ' επίστρεψόν με, και, προς το φως των εντολών σου, τας οδούς μου κατεύθυνον δέομαι. (Δις)

Ώσπερ άλως ωράθη, η λαμπρά και στρογγύλη Γοργοϋπήκοε, τω γλυκεί φωτί σου, καταυγάζουσα πάντας θεόνυμφε, τους υπό την σκέπην την κραταιάν σου προσφυγόντας, και τιμώντας σεπτώς την εικόνα σου.

Η εικών σου Παρθένε, ως ροδωνιά ανεδείχθη ηδύπνοος, έτεκες γαρ ρόδον, πορφυρούν και ευώδες τον Κύριον, και τους προσιόντας ευωδίαζεις και μυρίζεις, γλυκυτάταις οσμαίς ταις του Πνεύματος.

Φωτεινή ως νεφέλη, πόρρωθεν τους βλέποντας καταγλαΐζουσα, η εικών σου Κόρη, ανεδείχθη τω κόσμω θεόνυμφε, συ γαρ ως νεφέλη κούφη εβάστασας αγκάλαις, τον νεφέλαις το παν περιβάλλοντα.

Τι σοι Δέσποινα του κόσμου, τι ανταποδώσωμεν ημείς οι δούλοί σου, ότι διατρέφεις, επισκέπτη φυλάττεις εκάστοτε, εκ πολλών κινδύνων την ευτελή Μονήν σου ταύτην, η οικήσαι ηρέτισας άχραντε;

Των Αρχαγγέλων. Ο αυτός.

Ως Εβραίων οικίας, αβλαβείς εφύλαξας Μιχαήλ μέγιστε, εν Αιγύπτω πάλαι, σφραγισθείσας αμνού εν τω αίματι, ούτω συντηροίης παντός κακού και την Μονήν σου, τω Χριστού σφραγισθείσαν ονόματι.

Γυναιξί μυροφόροις, ώσπερ ευηγγέλισας Χριστού ανάστασιν, ούτω μετά πόθου, σου δεόμεθα Γαβριήλ μέγιστε, του εν ημίν λόγου της αρετής του νεκρωθέντος, μυστικώς την ανάστασιν κήρυξον.

Προβαλλόμεθα πρέσβεις, προς την αγαθότητα υμών Αρχάγγελοι, τους θείους πατέρας, και Μονής ημών ταύτης τους κτήτορας, όπως εν αγάπη υπομονή και ομονοία, την ζωήν διανύωμεν άπασαν.

Θεοτοκίον.

Ανυμνούμέν σε Κόρη, ως τον υπερύμνητον τεκούσα Κύριον, ον υμνούσι πάσαι, χιλιάδες Αγγέλων πανύμνητε, και αι μυριάδες εν φλογεραίς αϋλοις γλώσσας, προς αλλήλας το άγιος κράζωμαι.

Των Οσίων. Εξέστη τα σύμπαντα.

Νοσούσι την ίασιν, παθών την απολύτρωσιν, πνευματοκινήτως χορηγούντες, πάντων προστάται μέγιστοι

ώφθητε, ημών βοηθοί μετά Θεόν, θερμοί αντιλήπτορες θεοφόροι δομήτορες.

Οδοίς εφεπόμενος, του Βαπτιστού κατώκησας, όρος το του Άθω θεοφόρε, όθεν και οίκόν σε απεργάσατο, η ζώσα Σοφία του Θεού, ω επανεπαύσατο, συν Πατρί και τω Πνεύματι.

Νοός μου θεράπευσον, τας εκροπάς πανόλβιε, ίασαι τα πάθη της ψυχής μου, της ραθυμίας σκότος απέλασον, όπως εν αινέσει ανυμνώ, κτίστην τε και Κύριον, θεοφόρε Νεόφυτε.

Θεοτοκίον.

Παιδίον εγέννησας, τον ποιητήν Θεόνυμφε, αρχήν επηγάγου κατά σάρκα, και ανεφάνης αρχή της όντως αρχής, της τεκτηναμένης αληθώς, παν το δημιούργημα, ορατόν και αόρατον.

Καταβασία.

Εξέστη τα σύμπαντα, επί τη θεία δόξη σου· συ γαρ απειρόγαμε Παρθένε, έσχες εν μήτρα, τον επί πάντων Θεόν, και τέτοκας άχρονον Υιόν, πάσι τοις υμνούσί σε, σωτηρίαν βραβεύοντα.

## Ωδή στ’ . Της Θεοτόκου. Ο Ειρμός.

Την δέησιν εκχεώ προς Κύριον, και αυτώ απαγγελώ μου τας θλίψεις, ότι κακών, η ψυχή μου επλήσθη, και η ζωή μου τω άδη προσήγγισε, και δέομαι ως Ιωνάς. Εκ φθοράς ο Θεός με ανάγαγε. (Δις)

Εικόνος σου τα θεσπέσια μέλη, τοις του Άσματος εοίκασι λόγοις, όθεν αγνή την κεφαλήν σου εδείχθη, καθάπερ όρος Καρμήλου ως γέγραπται, και δράκοντος την κεφαλήν, του δολίου σατάν καταβέβληκε.

Τα όμματα σης εικόνος πάναγνε, Εσεβών πατωμοιώθησαν λίμναις, όθεν αγνή εν ενί οφθαλμών μου, συ εκαρδίωσας Κόρη τον Κύριον, και είλκυσας επί την γην, ίνα σώση βροτούς ως φιλάνθρωπος.

Τα ώτά σου τη φωνή προσέχοντα, του καλού αδελφιδού σου υπήρχον, ότι φωνή ην αυτού γλυκυτάτη, και φάρυγξ τούτου ηδύς και μελίρρυτος, ακούτισον με σης φωνής, τω νυμφίω διο ανεκραύγαζες.

Εικόνος σου οι μυκτήρες ώφθησαν, ώσπερ πύργος υψηλός του Λιβάνου, και η οσμή της ρινός σου εδείχθη, υπέρ τα μήλα τα εύοσμα Δέσποινα, το πρόσωπον διο της γης, ευωδίας ενθέου επλήρωσας.

Των Αρχαγγέλων. Ιλάσθητί μοι Σωτήρ.

Των Ιουδαίων λαόν, παρμεβολαίς σου ετείχισας, ω Μιχαήλ θαμαστέ, ημάς δε περίφραξον, τους πιστούς οικέτας σου, τη ση προστασία, ίνα πόθω σε γεραίρωμεν.

Εκ στειρευούσης καρπόν, τω Ζαχαρία εμήνυσας, ω Γαβριήλ ιερέ, ημών δε την στείρωσιν, των ψυχών διάλυσον, και ευκάρπους δείξον, αρετών ενθέοις πράξεσιν.

Τυφλούς χωλούς και κυλλούς, εδείξατε υγιαίνοντας, Αρχάγγελοι του Χριστού, δια της εκπόσεως, θείου αγιάσματος, όπερ εν τη ποίμνη, τη υμών ανεπηγάσατε.

Θεοτοκίον.

Λαμπρότητί σου αγνή, λαμπρότης όλη νενίκηται, του θαυμαστού Γαβρριήλ, ότε σοι εκόμισε, το Χαίρε πανάμωμε, και γαρ ασυγκρίτως, λαμπροτέρα νόων πέφυκας.

Των Οσίων. Την θείαν ταύτην.

Ιδού Μονή η ση σήμερον, την μνήμην σου τελούσα Ευθύμιε, χαίρει κραυγάζουσα· δεύτε οι πάντες συνδράμετε, προς τον θερμόν προστάτην και βοηθόν ημών.

Φυτόν ως νέον ηδύπνοον, Νεόφυτε παμμάκαρ εξήνθησας, δι’ απαθείας σοφέ, δια στερράς σου ασκήσεως, ημάς ευωδιάζων τους σε γεραίροντας.

Ωραιοτάτως ενούμενοι, τω Λόγω τω ωραίω μακάριοι, κόσμον εφύγετε, και Μονήν ταύτην ηγείρατε, εις μοναχών πολλών και ψυχών σωτήριον.

Θεοτοκίον.

Νόων αΰλων συ γέγονας, χαρά και ηδονή και εντρύφημα, Μαρία πάναγνε, ως της χαράς τον πρωταίτιον, Θεόν απειρογάμως μόνη κυήσασα.

Καταβασία.

Την θείαν ταύτην και πάντιμον, τελούντες εορτήν οι θεόφρονες, της Θεομήτορος, δεύτε τας χείρας κροτήσωμεν, τον εξ αυτής τεχθέντα, Θεόν δοξάζοντες.

Κοντάκιον. Των Οσίων. Ήχος δ’ . Ο υψωθείς εν τω Σταυρώ.

Τους εν ασκήσει ως αστέρας φανέντας, και οδηγήσαντας πολλούς εις λιμένα, της σωτηρίας άπαντες τιμήσωμεν, τον σεπτόν Ευθύμιον, και Νεόφυτον άμα, προς αυτούς κραυγάζοντες· από βλάβης παντοίας, Μονήν υμών φυλάττετε αεί, ην πολλοίς πόνοις εκ βάθρων ηγείρατε.

Ο Οίκος.

Νόμου και Προφητών την διπλήν, αγάπην ειδότες κεφάλαιον, πρώτον τον Θεόν, εξ όλης της ψυχής ηγαπήσατε· είθ' ούτω και τον πλησίον, ως εαυτούς πατέρες τρισόλβιοι· δείγμα δε του δευτέρου εναργέστατον, η ευαγής αύτη και ιερά υπάρχει Μονή, εν η πλήθη μοναχών συναθροίσαντες, πολλούς σεσωσμένους τω Κυρίω προσηγάγετε· οι και νυν εκδυσωπούσιν υμάς, ταις δραστικαίς υμών πρεσβείαις, πάσης ανάγκης λυτρούσθαι αυτήν, ην πολλοίς πόνοις εκ βάθρων ηγείρατε.

Συναξάριον.

Τη Θ' του αυτού μηνός, οι Όσιοι και θεοφόροι Πατέρες ημών Ευθύμιος και Νεόφυτος, οι κτήτορες της σεβασμίας Μονής του Δοχειαρίου, εν ειρήνη τελειούνται Ευθύμιον συνάμα τω Νεοφύτω,  Τιμώ, κτίσαντας την Μονήν Αρχαγγέλων.

Ωδή ζ' . Της Θεοτόκου. Ο Ειρμός.

Παίδες Εβραίων εν καμίνω, κατεπάτησαν την φλόγα θαρσαλέως, και εις δρόσον το πυρ, μετέβαλον βοώντες· Ευλογητός ει Κύριε, ο Θεός εις τους αιώνας. (Δις)

Όψις εικόνος σου ωραία, και το μήλόν σου ως λέπυρον της ρόας, ανεδείχθη αγνή διο οι βλέποντές σε, καρδίαν και διάνοιαν, καταθέλγονται παρθένε.

Χείλη τα θεία σης εικόνος, ανεφάνησαν ως κόκκινον σπαρτίον, και το στόμα αυτής ως μέλι και το γάλα, καθώς η ασματίζουσα, περί σου προανεφώνει.

Ώσπερ φιάλαι αρωμάτων, ανεδείχθησαν μορφής σου σιαγόνες, τοις τιμώσιν αυτήν εκ πίστεως και πόθου, μυρεψικά προχέουσαι, των ενθέων χαρισμάτων.

Άλλαι αγέλαι κεκαρμένων, αι ανέβησαν από λουτρού υπήρχον, οι οδόντες οι σοι, όθεν η λαλιά σου, ωραία αναδέδεικτα, σωφρονίζουσα ατάκτους.

Των Αρχαγγέλων. Οι εκ της Ιουδαίας.

Εντολάς δεκαλόγου αμειώτους φυλάττειν ημάς αξίωσον, τους σους πιστούς οικέτας, Μονής σου νεωκόρους ους ενταύθα συνήγαγες, ω Μιχαήλ φοβερέ, διάκονε του νόμου.

Μακαρισμούς τους θείους Γαβριήλ θείε νόε ημάς ενίσχυσον, πληρούν όπως αληκτου, χαράς των μακαρίων και ημείς επιτύχωμεν, οι αγαπώντες θερμώς, ευπρέπειαν σου οίκου.

Αρχάγγελοι Κυρίου αντιλήπτορες θείοι Δοχειαρίου Μονής, των ταύτης δομητόρων, καμπτόμενοι πρεσβείαις ημάς πάντας λυτρώσασθε, λοιμού λιμού και σεισμού, και εκ παντός κινδύνου.

Θεοτοκίον.

Μακαρία υπάρχεις Θεοτόκε Παρθένε ως τον μακάριον, Θεόν αποτεκούσα, τον πάντας μακαρίους τω βουλήματι κτίσαντα, αΰλοις νόας αγνή, και υλικούς ανθρώπους.

Των Οσίων. Ουκ ελάτρευσαν.

Ικεσίαις σου, ταις θείαις ελευθέρωσον Πάτερ Ευθύμιε, τους υμνητάς σου ημάς, εκ πάσης κακώσεως, εν όσω πνέομεν, και εκλειπόντας, εις τας μονάς σου πρόσδεξαι, καν το αίτημα η μέγα.

Εν Κυρίω, η πρεσβεία σου Νεόφυτε και παρρησία πολλή, ανύει πάντα σαφώς, τα πάσιν επίπονα, και άλλοις ου φορητά, και εμού διο, του οικτροτάτου δούλου σου, λύσον άμετρα τα χρέη.

Συναγάλλου, ουρανέ συνευφραινέσθωσαν ανθρώποις σήμερον, Αγγέλων αι στρατιαί, βροτοί επουράνιοι, άγγελοι γήϊνοι, εορτάζονται, οι δύο νυν δομήτορες, εις τιμήν Θεού των όλων.

Θεοτοκίον.

Σου πανύμνητε, της μεσιτείας άνευθεν νόων βροτών τε ουδείς, έχει ελθείν προς Θεόν, συ γαρ μόνη γέγονας, καινόν μεθόριον, κτιστής φύσεως, και της ακτίστου πάναγνε, ω πραγμάτων παραδόξων.

Καταβασία.

Ουκ ελάτρευσαν, τη κτίσει οι θεόφρονες, παρά τον κτίσαντα, αλλά πυρός απειλήν, ανδρείως πατήσαντες, χαίροντες έψαλλον· Υπερύμνητε, ο των Πατέρων Κύριος, και Θεός ευλογητός ει.

Ωδή η’ . Της Θεοτόκου. Ο Ειρμός.

Τον εν όρει, αγίω δοξασθέντα, και εν βάτω, πυρί το της Παρθένου, τω Μωϋσή μυστήριον γνωρίσαντα, Κύριον υμνείτε, και υπερυψούτε, εις πάντας τους αιώνας. (Δις)

Τράχηλός σου της Γοργοϋπηκόου, πύργος ώφθη Δαβίδ του οπλομάχου, εξ ου βολίδες δυνατών εκκρέμανται, χίλιαι παρθένε, δι’ ων αι δαιμόνων τροπούνται παρατάξεις.

Σης εικόνος αι χείρες Θεοτόκε, χρυσαί στήλαι και τορευταί υπήρχον, δι’ ων αγνή τον Κύριον εβάστασας, τον νεύματι μόνω, άπασαν την κτίσιν βαστάζοντα αρρήτως.

Της μορφής σου οι δύο μαστοί Κορή, νεβροί δύο ώφθησαν της δορκάδος, οι εν τοις κρίνοις τοις λευκοίς νεμομένοι, εξ ων τον τροφέρα, του παντός εκτρέφεις και γαλουχείς Παρθένε.

Η κοιλία της Γοργοϋπηκόου, ανεδείχθης ως θημωνία σίτου, η εν τοις κρίνοις πεφραγμένη πάντοθεν, εξ ης εγεννήθη, υπέρ πάντα λόγον αυτός ο Θεός Λόγος.

Των Αρχαγγέλων. Επταπλασίως κάμινον.

Ως ελυτρώσω πρότερον, Μιχαήλ αρχιστράτηγε, θείαν σου Μονήν Σαρακηνών αλώσεως, ούτω σου δεόμεθα μη αποκάμης πάντοτε, σκέπων και φρουρών αδιαλώβητον ταύτην, εκ πάσης επηρείας ορατών αοράτων, εχθρών επεμβαινόντων ημίν τοις σοις οικέταις.

Ως της Παρθένου γέγονας, Γαβριήλ τροφεύς ένθεος, διακονητής τε αυτής χαριέστατος, ούτως ημάς τους δούλους σου μη διαλίπης πάντοτε, τρέφων αισθητώ και νοητώ θείω άρτω, πράξεων εναρέτων και εν πάση αγνεία, και παρθενία πάντας φυλάττων σαις πρεσβείαις.

Καθώς πολλάκις πρότερον, εκ κινδύνων ερρύσασθε, τήνδε την Μονήν υμών θείοι Αρχάγγελοι, ούτως αυτήν δεόμεθα και εις τον εξής άπαντα, χρόνον απειλής πάσης

λυτρούσθαι και βλάβης, καμφθέντες ικεσίαις των δομητόρων ταύτης, κλεινού τε Ευθυμίου και θείου Νεοφύτου.

Θεοτοκίον.

Φως η το πρώτον τέξασα, το Αγγέλους τα δεύτερα, δώτα υποστήσαν και φως το πρωτόγονον, δημιουργήσαν αύθίς τε φωστήρας δύο παραγαγόν, επί πάσι δε ψυχήν ως φως ουσιώσαν, και φώτα υποδείξαν προστάγματα οικεία, φώτισον του νοός μου τον ζόφον Θεοτόκε.

Των Οσίων. Παίδας ευαγείς.

Ρήμασι Χριστού οικείαν ποίμνην, δογμάτων Ευθύμιε κατήρδευσας, και σπόρον τον ένθεον, ταύτη εγεώργησας, και αρετών τοις χρώμασι ταύτην ελάμπρυνας, διο λαμπροφορούσα νυν κράζει· Σε υπερυψούμεν Χριστέ εις τους αιώνας.

Όλως των δαιμόνων ουκ ισχύει, η φάλαγξ ιδείν σου την πανσέβαστον, θέαν ω Νεόφυτε, εξ ης ημίν εκάστοτε, αναπηγάζει θαύματα τοις αεί κράζουσι· τον Κύριον υμνείτε τα έργα, και υπερυψούτε εις πάντας τους αιώνας.

Άπασαν τοις έργοις υπερβάντες, ιδέαν, ιδέαν των εγκωμίων ω δομήτορες, το μικρόν εφύμνιον, ο και προσηγάγομεν,

ίνα αφοσιώσωμεν τον ημών έρωτα, υμίν τοις σεβασμίοις πατράσιν, ευμενώς δεχθείτε εις πάντων ευφροσύνην.

Θεοτοκίον.

Στάξον γλυκασμόν εν τη ψυχή μου, πικρία συνεχομένη παραπτώσεων, θείας παρακλήσεως, Κόρη απειρόγαμε, ο γλυκασμός Αγγέλων γαρ Συ και ανθρώπων πιστών, και δος του ουρανίου με δείπνου, και τρυφής γλυκείας τυχείν του Παραδείσου.

Καταβασία.

Παίδας ευαγείς εν τη καμίνω, ο τόκος της Θεοτόκου διεσώσατο, τότε μεν τυπούμενος, νυν δε ενεργούμενος, την οικουμένην άπασαν, αγείρει ψάλλουσαν· Τον Κύριον υμνείτε τα έργα, και υπερυψούτε, εις πάντας τους αιώνας.

Ωδή θ’ . Της Θεοτόκου. Ο Ειρμός.

Εξέστη επί τούτω ο ουρανός, και της γης κατεπλάγη τα πέρατα, ότι Θεός, ώφθη τοις ανθρώποις σωματικώς, και η γαστήρ σου γέγονεν, ευρυχωροτέρα των ουρανών· διο σε Θεοτόκε, Αγγέλων και ανθρώπων, ταξιαρχίαι μεγαλύνουσι. (Δις)

Αι κνήμαι της εικόνος σου Μαριάμ, ώσπερ σύλοι μαρμάρινοι ώφθησαν επί χρυσάς, βάσεις ερειδόμεναι

αληθώς, και οι ρυθμοί μυρίων σου, όμοιοι ορμίσκοι τοις τεχνικοίς, και τορευτός εδείχθη, ο ομφαλός σου Κόρη, ούποτε κράμα υστερούμενος.

Ως κήπος κεκλεισμένος σου η μορφή, και ως νάρδος και κρόκος και κάλαμος ώφθη αγνή, και τα πρώτα μήλα ως εκλεκτά, ως ξύλα του Λιβάνου δε, και ώσπερ παράδεισος των ροών, ως κύπροι μετά νάρδων, κιννάμωμον και σμύρνα, και ωσεί φρέαρ ζώντος ύδατος.

Εικόνα σου την θείαν και ιεράν, βασιλίδες σεμναί εμακάρισαν και των βροτών, θυγατέρες ήνεσαν αληθώς, ότι εκβλύζει θαύματα, και πηγή εδείχθη πάντων καλών, όντως εστί βοώσαι, περιστερά τελεία, και εκλεκτή και υπερέχουσα.

Ουκ έστιν εν τω κάλλει της σης μορφής, μώμός τις Μαριάμ ουδ’ ελάχιστον μώμου παντός, όθεν οι θεώμενοι γηγενείς, εκπλήττονται και κράζουσι, νήμφης της του Άσματος τα ρητά, όλη καλή υπάρχεις, όλη καλή παρθένε, Γοργοϋπήκοε ως ήλιος.

Των Αρχαγγέλων. Κυρίως Θεοτόκον.

Προστάτης εν ανάγκαις, ρύστης εν κινδύνοις, και εν ταις θλίψεσι πάσαις παρήγορος, ω Μιχαήλ θείε νόε ημίν γενήθητι.

Χαράς και ευφροσύνης, Άγγελος φανείης, ω Γαβριήλ ημίν πάσι τοις δούλοις σου, εκ πολυτρόπων σκανδάλων απολυτρούμενος.

Θαυμάσια ποικίλα, εδείξατε πάλαι, περί Μονήν υμών ταύτην Αρχάγγελοι, άπερ μη παύσητε πάντοτε εργαζόμενοι.

Θεοτοκίον.

Παρθένε Αρχαγγέλων, των δύο πρεσβείαις, και δομητόρων καμφθείσα διάσωσον, την ιεράν Μονήν ταύτην πάσης κακώσεως.

Των Οσίων. Άπας γηγενής.

Ποίμνην τήνδε συ, εκ βάθρων ανήγειρας και κατεκόσμησας, ώσπερ διαδήματι, τη ση ασκήσει Πάτερ Ευθύμιε, και νυν την θείαν μνήμην σου πανηγυρίζει φαιδρώς, ην ρυσθήναι πάσης περιστάσεως, και κινδύνων δεινών καθικέτευε.

Έχεις προς τον σον, Δεσπότην Νεόφυτε ως θεοφόρος Πατήρ, παρρησίαν εύτολμον, και δη τυγχάνων τούτω

αείποτε, αίτησον εν ονόματι αυτού τοις δούλοις σου, σωτηρίαν και βίου διόρθωσιν, τοις θερμώς εκτελούσι την μνήμην σου.

Δέξασθε ημών, το παρόν εφύμνιον θείοι δομήτορες, ως ευχαριστήριον, ανθ’ ων φρουρείτε τρέφετε θάλπετε, ημάς ους συνηγάγετε εν τη οικεία Μονή, αλλά πόθω δεόμεθα Όσιοι, εις αιώνας φυλάττετε άπαντας.

Θεοτοκίον.

Ω Μήτερ Θεού, χορούς συμπαράλαβε πασών δυνάμεων, και πρεσβείαν ποίησον, προς τον Υιόν σου όπως ενδείξηται, ημάς τους σε γεραίροντας μερίδος κρείττονος, κληρονόμους εκ πόθου δοξάζοντας, εις αιώνα Τριάδα την άκτιστον.

Καταβασία.

Άπας γηγενής, σκιρτάτω τω πνεύματι λαμπαδουχούμενος, πανηγυριζέτω δε, αύλων Νόων φύσις γεραίρουσα, την ιερά θαυμάσια της Θεομήτορος, και βοάτω· Χαίροις παμμακάριστε, Θεοτόκε Αγνή αειπάρθενε.

Εξαποστειλάριον. Των Οσίων. Γυναίκες ακουτίσθητε.

Οι κόσμον αρνησάμενοι, και τον σταυρόν αράμενοι, δυάς Οσίων Πατέρων, Μονής ημών δομητόρων, Ευθύμιε

Νεόφυτε, του Άθω σεμνολόγημα, ημάς καταφαιδρύνατε, του ανυμνήσαι αξίως, υμών την πάμφωτον μνήμην.

Των Αρχαγγέλων. Τοις Μαθηταίς συνέλθωμεν.

Ω ξυνωρίς υπέρλαμπρε των σεπτών Αρχαγγέλων, λύχνοι φωτός ισόφωτοι του μεγάλου και πρώτου, και αρχηγοί των Αγγέλων Μιχαήλ Γαβριήλ τε, μετά της Θεομήτορος παριστάμενοι θρόνω, τω φοβερώ κόσμω την ειρήνην αεί αιτείτε, και βασιλεί τα τρόπαια και ημίν σωτηρίαν.

Θεοτοκίον. Όμοιον.

Τιμιωτέρα γέγονας Χερουβίμ των ενδόξων, και Σεραφίμ πανύμνητε των φρικτών ασυγκρίτως, ενδοξοτέρα και πάντων των αγίων Αγγέλων, αγιωτέρα πάναγνε τον γαρ κτίστην των όλων, σωματικώς απορρήτως τέτοκας Θεοτόκε, Ον αίτησαι τοις δούλοις σου λύτρον δούναι πταισμάτων.

Αίνοι. Ήχος πλ. δ’ . Ω του παραδόξου θαύματος.

Δεύτε τιμήσωμεν άσμασι, τους Αρχαγγέλους Χριστού, συν Αγγέλων ταις τάξεσιν, ως Θεού υμνήτορας, ασιγήτως κραυγάζοντας, τους μεν το άγιος άγιος άγιος, τους δε τον ύμνον του Γελ εξάδοντας, τους τελευταίους δε, τον Χριστόν δοξάζοντας πανευλαβώς, και συν ημίν άδοντας το Αλληλούϊα.

Σε όλβον έσχεν ασύλητον, Δοχειαρίου Μονή, και σεπτόν ακροθίνιον, και λιμένα άκλυστον, και στερρόν περιτείχισμα, και κατ’ εχθρού παντός αμυντήριον, ψυχής και σώματος φυλακτήριον, ην και περίσωζε, δομήτορ Ευθύμιε ταις σαις ευχαίς, αποτειχιζόμενος τα προς επήρειαν.

Πόθω συνελθόντες άπαντες, σου προσκυνούμεν πιστώς, την εικόνα Νεόφυτε, και σε ικετεύομεν, από πάσης κακώσεως, οργής και βλάβης παντοίας λύτρωσαι, ημάς τους πόθω ανευφημούντάς σε, και μετά θάνατον, ρύσαι της κολάσεως και ουρανών, βασιλείας ποίησον μετόχους Άγιε.

Δοχειαρίου δομήτορες, υμείς πληθύν μοναχζών, τω Χριστώ εκομίσατε, σωτηρίας αίτιοι, γεγονότες μακάριοι, διδασκαλίαις αγλαϊζόμενοι, και προστασίαις ψυχών κοσμούμενοι, στόμα δεικνύμενοι, του Κυρίου πάνσοφοι προφητικώς, ω και παριστάμενοι νυν ημών μνήσθητε.

Δόξα. Ήχος πλ. δ’ .

Ουρανοδρόμω επιβάντες οχήματι θεσπέσιοι, των αρετών κατελάβετε, την ακρόπολιν δι’ ασκήσεως, εκ της ερήμου πολεύοντες, και των εμπόνων αγώνων, αξίως τα γέρα κομισάμενοι, ταις ουρανίαις συναγάλλεσθε ταξιαρχίαις,

παμμακάριστοι, των αιωνίων αγαθών κληρονόμοι, και της βασιλείας οικήτορες γενόμενοι. Διο πρεσβεύσατε πατέρες πανόλβιοι, Ευθύμιε και Νεόφυτε, τω Σωτήρι των όλων, ειρηνεύσαι τον κόσμον, και σώσαι τας ψυχάς ημών.

Και νυν. Ο αυτός.

Ως ταξιάρχης και πρόμαχος, και των Αγγέλων αρχηγός Αρχιστράτηγε, πάσης ανάγκης και θλίψεως, νόσων και δεινών αμαρτημάτων ελευθέρωσον, τους ειλικρινώς ανυμνούντας, και αιτουμένους σε ένδοξε, εναργώς ως άϋλος, τον άϋλον καθορών, και τω απροσίτω φωτί, της του Δεσπότου δόξης καταλαμπόμενος. Αυτός γαρ φιλανθρώπως, σάρκα δι' ημάς εκ Παρθένου προσείληφε, σώσαι βουληθείς το ανθρώπινον.

Δοξολογία Μεγάλη και Απόλυσις.

Μεγαλυνάριον.

Μεμνήμεθά σου Πάτερ διηνεκώς, οι Μονήν οικούντες ην εκ βάθρων πόνοις πολλοίς, μετά του Ευθυμίου ανήγειρας παμμάκαρ, Νεόφυτε Οσίων το εγκαλλώπισμα.

